λεγόμενα πρόσωπα, καὶ διὰ τῦτο καὶ οἱ λόγοι Πλάτωνος διάλογοι προσαγορεύονται, ὡς ἔχοντες πρόσωπα. καὶ ἄξιον ζητῆσαι διὰ ποίαν αἰτίαν μεμφόμενος ἐν τῇ Πολιτείᾳ 2) τὰς κωμῳδίαν ἐπαγγελλομένας καὶ τραγῳδίαν, καὶ ἐκβάλλων αὐτὰς, διὰ τὸ τὰς μὲν τραγικὰς αὔξειν τὸ ἐν ἡμῖν λυπηρὸν, τὰς δὲ κωμῳδιοποιὰς 3) τὸ ἐν ἡμῖν φιλήδονον, αὐτὸς μιμεῖται αὐτὰς, καὶ εἰσφέρει πρόσωπα. 4) Φαμέν· ὅτι εἰ τὴν πολιτείαν Πλάτωνος ἐδιώκομεν, εἶχον ἂν καὶ πληγαῖς ὁμιλεῖν, οἱ κακοὺς εἰσηγούμενοι λόγους. 5) ἐπειδὴ δὲ οὐχ οὕτως ζῶμεν, εἰσφέρονται μὲν πρόσωπα· οὐκ ἀνέλεγκτα δὲ ὡς παρ' ἐκείνοις, ἀλλ' ἐλεγχόμενα καὶ ἐπιῤῥαπιζόμενα. μέμφεται γὰρ τῷ Γοργίᾳ καὶ τῷ Πόλῳ καὶ τῷ Καλλικλεῖ, καὶ τῷ Θρασυμάχῳ ὡς ἀναιδεῖ, καὶ μηδέποτε ἐρυθριῶντι· 6) ἐπαινεῖ δὲ τοὺς χρηστοὺς καὶ ἐμφιλοσόφως ζῶντας. ταῦτα μὲν οὖν περὶ

2) Conf. L. 3. de Rep. p. 394 — 398.

3) Moeris Att. Κωμῳδοποιοὶ, Ἀττικῶς. κωμῳδιοποιοὶ, Ἑλληνικῶς. p. 240. Ed. Pierson. κωμῳδοποιὰς habet MS. Sangermanens.

4) Olympiodorus noster in Vit. Platonis: Ἔχαιρε δὲ πάνυ καὶ Ἀριστοφάνει τῷ κωμικῷ, καὶ Σώφρονι, παρ' ὧν καὶ τὴν μίμησιν τῶν προσώπων ἐν τοῖς διαλόγοις ὠφελήθη. p. 5. Ed. Etwall.

5) Damnat istos fabulatores Plato in fine Lib. 2. de Rep. et initio L. 3.

6) Scil. in L. 1. de Rep. p. 350. C. Vbi haec sunt: Ὁ δὴ Θρασύμαχος ὡμολόγησε μὲν πάντα ταῦτα. οὐχ ὡς ἐγὼ νῦν ῥᾳδίως λέγω, ἀλλ' ἑλκόμενος, καὶ μόγις, μετ' ἱδρῶτος θαυμαστοῦ ὅσου, ἅτε καὶ θέρους ὄντος, τότε καὶ εἶδον ἐγὼ, πρότερον δὲ οὔπω, Θρασύμαχον ἐρυθριῶντα. p. 350. C.